βάσεις. οἱ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις. ταῦτα κατ᾽ εἰκόνα τῆς δικαιοσύνης ἀπειραχῶς πίπτοντα καὶ ἀνομοίως τὴν τῆς ἰσότητος καὶ ἀναλογίας ἀποσῴζει ταυτότητα.

§ 195 p. 107, 14 s. ταῖς γὰρ μνησταῖς συνοικεῖν μέλλοντες ἔθυον, τὰς δὲ παλλακίδας ἀθύτους εἶχον.

§ 202 p. 110, 19 s. τὴν νεανικὴν τά τε παιδικὰ καὶ τὰ ἀνδρικά.

§ 210 p. 114, 14—17 τοῦτο λέγει καὶ Ἐπίκουρος, ὅτι οὐδεμία χρῆσις ἀφροδισίων ὑγιεινή. ὅπερ διορθούμενος ὁ Γαληνὸς προσδιορίζεται· ‘ὅταν’ φησίν ‘ἐκ πολυσιτίας τε καὶ πολυποσίας τοῦτο γένηται, συμφέρει πρὸς ὑγίειαν, ὅταν δὲ οὐχ οὕτως ἔχῃ, οὐ συμφέρει· οὐ γὰρ ἡ ἀκρασία ἐμπόδιον πρὸς εὐεξίαν’.

§ 234 p. 125, 21 ταῦτα πάντα τὰ κατὰ τὴν ⟨περὶ⟩ Φιντίου διήγησιν ὡς ἀπὸ Ἀριστοξένου δεῖ παραγόμενα ἀκούειν.

§ 237 p. 127, 14—18

τὸν ἐσθλὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός,
κἂν μήποτ᾽ ὄσσοις εἰσίδω, κρίνω φίλον.

§ 242 p. 130, 9 s.

Ἕλληνος δ᾽ ἐγένοντο φιλοπτόλεμοι βασιλῆες,
Δῶρός τε Ξοῦθός τε καὶ Αἰόλος ἱππιοχάρμης.

§ 245 p. 131, 20 s.

στεῦτο δὲ διψάων, πιέειν δ᾽ οὐκ εἶχεν ἑλέσθαι.

§ 247 p. 132, 19 s. τὸ γὰρ δωδεκάεδρον εἴκοσι γωνίας στερεὰς ἔχει.